# ΥΠΟΘΕΣΙΣ.

ΑΓΑΜΕΜΝΩΝ εἰς Ἰλιον ἀπιὼν, τῇ Κλυταιμνήστρᾳ, εἰ πορθήσοι τὸ Ἰλιον, τῆς αὐτῆς ἡμέρας σημαίνειν ἔφη διὰ πυρσοῦ. Ὅθεν σκοπὸν ἐκάθισεν ἐπὶ μισθῷ Κλυταιμνήστρα, ἵνα τηροίη τὸν πυρσόν. Καὶ ὁ μὲν ἰδὼν ἀπήγγειλεν· αὐτὴ δὲ τῶν πρεσβυτῶν ὄχλον μεταπέμπεται, περὶ τοῦ πυρσοῦ ἐροῦσα (ἐξ ὧν καὶ ὁ χορὸς συνίσταται), οἵτινες ἀκούσαντες παιανίζουσι. Μετ' οὐ πολὺ δὲ καὶ Ταλθύβιος παραγίνεται, καὶ τὰ κατὰ τὸν πλοῦν διηγεῖται. Ἀγαμέμνων δ' ἐπὶ ἀπήνης ἔρχεται· εἵπετο δ' αὐτῷ ἑτέρα ἀπήνη, ἔνθα ἦν τὰ λάφυρα καὶ ἡ Κασάνδρα. Αὐτὸς μὲν οὖν προεισέρχεται εἰς τὸν οἶκον σὺν τῇ Κλυταιμνήστρᾳ· Κασάνδρα δὲ προμαντεύεται, πρὶν εἰς τὰ βασίλεια εἰσελθεῖν, τὸν ἑαυτῆς καὶ τοῦ Ἀγαμέμνονος θάνατον, καὶ τὴν ἐξ Ὀρέστου μητροκτονίαν, καὶ εἰσπηδᾷ ὡς θανουμένη, ῥίψασα τὰ στέμματα. Τοῦτο δὲ τὸ μέρος τοῦ δράματος θαυμάζεται, ὡς ἔκπληξιν ἔχον καὶ οἶκτον ἱκανόν. Ἰδίως δὲ Αἰσχύλος τὸν Ἀγαμέμνονα ἐπὶ σκηνῆς ἀναιρεῖσθαι ποιεῖ· τὸν δὲ Κασάνδρας σιωπήσας θάνατον, νεκρὰν